**3** *μόνη ἡ ἀληθὴς ῥητορικὴ ἡ τὰς αἰτίας ἀποδιδοῦσα. τί δὲ
λέγω ὅτι ἡ ῥητορικὴ ἡ ψευδώνυμος κατὰ τὸν πρῶτον ὅρον
τέχνη ἐστίν; ὅπου γε καὶ ἡ ὀψοποιητικὴ καὶ ἡ κομμωτική.
καὶ γὰρ οὐ τυχόντος ἐστὶν ὀψοποιῆσαι, ἀλλὰ τοῦ ἐμπείρου
καὶ ὁδῷ τινὶ προϊόντος καὶ ἁρμοζομένου πρὸς τὸν δεσπότην
16 ἢ γλυκέσιν ἢ τοιοῖς χαίροντα· ὡσαύτως ἡ κομ|μώτρια
οἶδε τὰ ἀλείμματα καὶ γινώσκει πῶς δεῖ κοσμῆσαι τὰς
τρίχας. ἡ οὖν μὴ δυναμένη ἀποδοῦναι αἰτίαν ῥητορικὴ
ἀλλ' ἐφ' ἑκάτερα χωροῦσα ἐπί τε τὸ ἀληθὲς καὶ τὸ ψεῦδος
οὐκ ἔστιν τέχνη (τέχνης γὰρ τὸ δι' ἓν τέλος ἀγαθὸν ἔχειν),
ἡ δὲ ἀληθὴς ῥητορικὴ ἡ ὑπὸ τὸν πολιτικὸν τέχνη ἐστίν.
ὥσπερ γὰρ ὁ λογικὸς ἰατρὸς οἶδεν ὅτι τοῖς πυρέττουσιν
αἱ ὑγραὶ δίαιται συμβάλλονται, οὕτως καὶ οἱ ἐμπειρικοί,
καὶ ὥσπερ ὁ λογικὸς οἶδεν ὅτι ὁ ὀφθαλμιῶν χρῄζει ἀκρατο-
ποσίας ἢ λουτροῦ ἢ πυρίας, οὕτω καὶ ὁ ἐμπειρικός. ἀλλ' ὁ
μὲν λογικὸς καὶ τεχνίτης καὶ τὰς αἰτίας ἀποδίδωσιν, ὁ δὲ
ἐμπειρικὸς οὐκ οἶδεν· οὕτως οὖν καὶ ὁ μὲν ἀληθὴς ῥήτωρ
τὰς αἰτίας οἶδεν, ὁ δὲ ψευδὴς οὔ.*

**4** *Εἰ οὖν καὶ ὁ ῥήτωρ ὁ ἀληθὴς τὰς αἰτίας οἶδεν καὶ ὁ πολιτικός, τί διαφέρουσιν ἀλλήλων; φαμὲν ὅτι διαφέρουσι καθὸ ὁ ῥήτωρ ὠφελεῖται ἐκ τοῦ πολιτικοῦ οὐκ οἴκοθεν ἔχων τὴν γνῶσιν· ὁ γὰρ πολιτικὸς ἀκριβῶς οἶδεν καὶ κελεύει αὐτῷ. πάλιν εἴ τις εἴποι ʽτί οὖν διαφέρει τέχνη ἐπιστήμης, εἴ γε καὶ ἡ τέχνη τὰς αἰτίας ἀποδίδωσιν;ʼ εἰπὲ ὅτι ἡ ἐπιστήμη ἀεὶ καὶ ὡσαύτως ἐχόντων πραγμάτων*

**mg. 6** (mg. inf.) *κομμώτρια*] *κόμμι λέγεται τὸ ἐκ τῶν δένδρων ἅτε δὴ δάκρυον ἀπορρέον ὑγρόν, ᾧ χρῶνται πρὸς τὰς τρίχας τῶν γυναικῶν ὥστε μὴ διαχεῖσθαι αὐτὰς ἀλλὰ μένειν ὡς συμπεπηγυίας ἐφ' οὗπερ ἐθέλουσι σχήματος αἱ κομμώτριαι· παρ' ὃ καὶ ἀπὸ τοῦδε κομμώτριαι τοῦ κόμμεος λέγονται καὶ ἡ τέχνη κομμωτική.* || **19. 20** *ἀπορία* | *λύσις*